πάντα δ' ἐκεῖνον ἐμοὶ φαντάζεται· ἆρ' ἐσορῶσιν
ὀφθαλμοὶ ψυχῇ πρὸς χάριν οἱ κόλακες;

## CV

ἤστραψε γλυκὺ κάλλος· ἰδοὺ φλόγας ὄμμασι βάλλει·
ἆρα κεραυνομάχαν παῖδ' ἀνέδειξεν Ἔρως;
χαῖρε Πόθων ἀκτῖνα φέρων θνατοῖσι, Μυΐσκε,
καὶ λάμποις ἐπὶ γᾷ πυρσὸς ἐμοὶ φίλιος.

## CVI

τί κλαίεις, φρενοληστά; τί δ' ἄγρια τόξα καὶ ἰούς
ἔρριψας διφυῆ ταρσὸν ἀνεὶς πτερύγων;
ἦ ῥά γε καὶ σὲ Μυΐσκος ὁ δύσμαχος ὄμμασιν αἴθει;
ὡς μόλις οἷ' ἔδρας πρόσθε παθὼν ἔμαθες.

## CVII

ἡδὺς ὁ παῖς, καὶ τοὔνομ' ἐμοὶ γλυκύς ἐστι Μυΐσκος
καὶ χαρίεις· τίν' ἔχω μὴ οὐχὶ φιλεῖν πρόφασιν;
καλὸς γάρ, ναὶ Κύπριν, ὅλος καλός· εἰ δ' ἀνιηρός,
οἶδε τὸ πικρὸν Ἔρως συγκεράσαι μέλιτι.

## CVIII

ἐν σοὶ τἀμά, Μυΐσκε, βίου πρυμνήσι' ἀνῆπται,
ἐν σοὶ καὶ ψυχῆς πνεῦμα τὸ λειφθὲν ἔτι.
ναὶ γὰρ δὴ τὰ σά, κοῦρε, τὰ καὶ κωφοῖσι λαλεῦντα
ὄμματα, ναὶ μὰ τὸ σὸν φαιδρὸν ἐπισκύνιον,